## Las sirenas.

Αἱ δὲ Σειρῆνες ἦσαν Ἀχελῴου καὶ Μελπομένης, μιᾶς τῶν Μουσῶν, θυγατέρες, Πεισινόη, Ἀγλαόπη, Θελξιέπεια, τούτων ἡ μὲν ἐκιθάριζεν, ἡ δὲ ᾖδεν, ἡ δὲ ηὔλει, καὶ διὰ τούτων ἔπειθον καταμένειν τοὺς παραπλέοντας. Ταύτας παραπλέων Ὀδυσσεύς, τῆς ᾠδῆς βουλόμενος ὑπακοῦσαι, τῶν μὲν ἑταίρων τὰ ὦτα ἔβυσε κηρῷ, ἑαυτὸν δὲ ἐκέλευσε προσδεθῆναι τῷ ἱστῷ. Πειθόμενος δὲ ὑπὸ τῶν Σειρήνων καταμένειν ἠξίου λυθῆναι, οἱ δὲ μᾶλλον αὐτὸν ἐδέσμευον, καὶ οὕτω παρέπλει.

### NOTAS

Σειρήν, -ῆνος ἡ *Sirena*

Ἀχελῷος, -ου ὁ *Aqueloo*

Μελπομένη, -ης ἡ *Melpómene*

Μοῦσα, -ης ἡ *Musa*

Πεισινόη, -ης ἡ *Pisínoe*

Ἀγλαόπη, -ης ἡ *Agláope*

Θελξιέπεια, -ας ἡ *Telxiepia*

Ὀδυσσεύς, -έως ὁ *Odiseo*